Ο ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΥΠΡΟΥ
ΧΡΥΣΟΣΤΟΜΟΣ Β΄

Ο.Φ.
14.7.11

Μακαριώτατε Ἀρχιεπίσκοπε Ἀθηνῶν καί πάσης Ἑλλάδος, λίαν ἡμῖν ἀγαπητέ καί περισπούδαστε ἀδελφέ καί συλλειτουργέ, κύριε Ἱερώνυμε, τήν Ὑμετέραν γερασμίαν Μακαριότητα ἀδελφικῶς ἐν Κυρίῳ κατασπαζόμενοι, ὑπερήδιστα προσαγορεύομεν.

Θερμότατα εὐχαριστοῦμεν τῇ Ὑμετέρᾳ γερασμίᾳ Μακαριότητι ἐπί τοῖς προφρόνως καί ἀδελφικῶς ἀπευθυνθεῖσι ἡμῖν συλλυπητηρίοις Αὐτῆς, διά τήν πλήξασαν τήν νῆσον καί τόν λαόν ἡμῶν φοβεράν καί πολυαίμακτον τραγῳδίαν, καθ' ἥν ἀδίκως καί ἀδοκήτως ἀπώλεσαν τήν ζωήν αὐτῶν τοσοῦτοι πολλοί ἀγαπητοί ἐν Χριστῷ ἀδελφοί ἡμῶν.

Αἱ συλλυπητήριοι εὐχαί τῆς Ὑμετέρας λίαν ἡμῖν ἀγαπητῆς Μακαριότητος προσφέρουσι πολύτιμον παραμυθίαν καί ἐνίσχυσιν τοῖς συγγενέσι τῶν μεταστάντων ἀδελφῶν ἡμῶν, ἐν τῷ πένθει καί τῇ ὀδύνῃ αὐτῶν, καί παντί ἐν γένει τῷ εὐσεβεῖ ἡμῶν λαῷ.

Ἐπί δέ τούτοις, ἀπονέμοντες καί αὖθις τῇ Ὑμετέρᾳ γερασμίᾳ Μακαριότητι τόν ἐν Χριστῷ ἀδελφικόν ἡμῶν ἀσπασμόν, αἰτούμεθα παρά Θεοῦ τά ἔτη Αὐτῆς ὡς πλεῖστα καί ὑγιεινά καί διατελοῦμεν

Ἐν τῇ Ἱερᾷ Ἀρχιεπισκοπῇ Κύπρου,
τῇ 13ῃ Ἰουλίου 2011,

Τῆς Ὑμετέρας γερασμίας Μακαριότητος
ἀγαπητός ἐν Χριστῷ ἀδελφός

Τ. Θ. 21130, 1502 ΛΕΥΚΩΣΙΑ - ΚΥΠΡΟΣ ΤΗΛ. 22554600, ΤΗΛΕΟΜ. 22430451, E-mail: inkyprou@cy.net